ποικίλος τις ἂν καὶ ἀγχίστροφος, καθωμίλει τοὺς καιρούς, πρὸς τὸ κρεῖττον μέρος ἀεὶ διδοὺς ἑαυτόν. μῶμος δ' ἐλέγετο εἶναι. καὶ κόθορνος. Λουκιανὸς Ἔρωσιν. ὡς καὶ ἐγωγ' ἂν εὐξαίμην εἴπερ ἦν ἐν δυνατῷ γενέσθαι θηραμένης ἐκεῖνος ὁ κόθορνος, ἵν' ἄμφω νενικηκότες ἐξ ἴσου βαδίζοιτε.

Bisetus. Ἔκθεσις τῆς διπλῆς εἰς δύο περιόδους διῃρημένη ἐκ κώλων κά. καὶ τῆς πρώτης περιόδου εἰσὶ κῶλα θ'.

Εὐ. Τοιαῦτα μέντοι 'γὼ φρονεῖν,
Τούτοισιν εἰσηγησάμην,
Λογισμὸν ἐνθεὶς τῇ τέχνῃ,
Καὶ σκέψιν, ὥστ' ἤδη νοεῖν
Ἅπαντα, καὶ διειδέναι.
Τά τ' ἄλλα, καὶ τὰς οἰκίας
Οἰκεῖν ἄμεινον, ἢ πρὸ τοῦ,
Κἀνασκοπεῖν, πῶς τοῦτ' ἔχει;
Ποῦ μοι τοδί; τίς τοῦτ' ἔλαβε;

Ev. Ego seruulis prudentiam
Nunc indidi atque industriam
Peritiámque: ut omnia
Dispicere, & nosse possient,
Et tum alia, tum domestica
Nunc administrare meliùs,
Et cogitare: quomodo
Hoc habet? vbi hoc? quis abstulit?

Σχόλ. Τοιαῦτα μέντοι 'γὼ φρονεῖν.] τὸ πλῆρες τοιαῦτα μέντοι ἐγώ. ἔκθεσις τῆς διπλῆς εἰς δύο περιόδους διῃρημένη ἐκ κώλων ἰαμβικῶν διμέτρων ἀκαταλήκτων κά. εἰσὶ δὲ τῆς μὲν πρώτης περιόδου κῶλα θ. τῆς δευτέρας κῶλα δυοκαίδεκα. ὧν τὰ ἡ ιά ιβ. καταληκτικά εἰσιν. ἐπὶ τῷ τέλει τῆς μὲν πρώτης περιόδου παράγραφος. τῆς δὲ δευτέρας δύο διπλαῖ. ἡ μὲν ἐν ἀρχῇ τοῦ κώλου. ἡ δὲ κατὰ τὸ τέλος. ἀμφότεραι ἔξω νενευκυῖαι. Καὶ τὰς οἰκίας.] προσέχειν τῇ οἰκίᾳ καὶ μηκέτι πολεμεῖν.

Bisetus. Δευτέρας περιόδου κῶλα ιβ.

Δι. Νὴ τοὺς θεούς, νῦν γοῦν Ἀθηναίων ἅπας τις εἰσιὼν,
Κέκραγε πρὸς τοὺς οἰκέτας,
Ζητεῖ τε, ποῦ 'στιν ἡ χύτρα;
Τίς τὴν κεφαλὴν ἀπεδήδοκε
Τῆς μαινίδος; τὸ τρύβλιον
Τὸ περυσινὸν τέθνηκέ μοι.
Ποῦ τὸ σκόροδον τὸ χθεσινόν;
Τίς τῆς ἐλάας παρέτραγε;
Τέως δ' ἀβελτερώτεροι
Κεχηνότες μαμμάκυθοι
Καὶ Μελιτίδαι κάθηντο.

BA. Ita per Deos: & iam proin
Vt quilibet intrat in domum:
Proclamat ad seruos suos,
Rogatque, vbi est fidelia?
Quis deuorauit hic caput
Maenae? catinus proximo
Anno emptus interiit? vbi
Est allium hesternum? cedò.
Oleam quis hanc deglutiit?
Sic stultiores redditi
Nunc desident, & ore hiant
Mammacythi & Melitidae.

Σχόλ. Ποῦ 'στιν ἡ χύτρα;] ταῦτα πάντα μικροπρεπείας δείγματα. Τέθνηκέ μοι.] ἀντὶ τοῦ κέκλασται ἀπώλετο πρὸς τὰς λέξεις Εὐριπίδου. Τῆς ἐλάας.] μέχρι καὶ τῶν εὐτελῶν ἐρωτῶσιν. ἐλάα δὲ ὁ καρπὸς τῆς ἐλαίας. καταχρηστικῶς δὲ θάτερον ἀντὶ θατέρου λαμβάνεται. Μαμμάκυθοι.] Ἀρίσταρχος μέν φησιν ὠνοματοπεποιῆσθαι, πῶς οὖν Δημήτριός φησιν, εἰ μὴ σύνηθες αὐτοῖς τὸ ὄνομα. οὗ καὶ δρᾶμα ὅλον οὕτως ἐπιγέγραπται Μαμμάκυθοι. ὅ τινες Πλάτωνος λέγουσιν. ἄλλως. ἀντὶ τοῦ μαμμόθρεπτοι. Δίδυμος, ὅτι μαμμάκυθος καὶ Μελιτίδης ἐπὶ μωρίᾳ διεβάλλοντο. καθάπερ καὶ ὁ Βουταλίων καὶ ὁ Κόροιβος. μή ποτε δὲ καὶ πλέον εἴη μαμμάκυθοι διὰ τὸν στίχον. Μελιτίδην δὲ τὸν εὐήθη. παρὰ τὸ μέλι. ἢ καὶ γέγονέ τις οὕτω μωρός. τοῦ δὲ Μελιτίδου καὶ Κοροίβου καὶ Λουκιανὸς Ἔρωσι μέμνηται.

Bisetus. Κορωνίς, καὶ ἔκθεσις χοροῦ ἐπῳδική, καὶ προῳδικὴ ἐκ κώλων ιγ. καὶ ἐν ἐκθέσει δύο στίχοι ἀναπαιστικοί, τετράμετροι καταληκτικοί.

Χο. Τάδε μὲν λεύσσεις φαίδιμ' Ἀχιλλεῦ,
Σὺ δὲ τί φέρε πρὸς ταῦτα λέξεις; μόνον ὅπως
Μή σ' ὁ θυμὸς ἁρπάσας,
Ἐκτὸς οἴσει τῶν ἐλαιῶν,
Δεινὰ γὰρ κατηγόρηκεν.
Ἀλλ' ὅπως ὦ γεννάδα,
Μὴ πρὸς ὀργὴν ἀντιλέξεις,
Ἀλλὰ συστείλας, ἄκροισι
Χρώμενος τοῖς ἱστίοισιν,
Εἶτα μᾶλλον μᾶλλον ἄξεις,
Καὶ φυλάξεις, ἡνίκ' ἂν τὸ
Πνεῦμα λεῖον,
Καὶ καθεστηκὸς λάβῃς.
Ἀλλ' ὦ πρῶτος τῶν Ἑλλήνων πυργώσας ῥήματα σεμνά, ἀφίει.
Καὶ κοσμήσας τραγικὸν λῆρον, θαρρῶν τὸν κρουνὸν

Ch. Age, tun' isthaec inclyte Achilles
Videbis? at quid ad haec dices? solùmodò
Ne ira te malè impulsum,
Extra oleas raptet, cauebis.
Namque acerba dixit in te.
Sed caue vir inclyte,
Ne quid iratus loquare.
Proin contractis abalto
Nauiga velis, ratémque
Promoue magis, magisque:
Atque vbi vento secundo
Aura constans
Flabit, hic time tibi.
Iamq́; age, qui primus Graecorum extruxisti grādia verba, sonorum.
Et Musam exornasti tragicam, torrentem emitte

Σχόλ. Τάδε μὲν λεύσσεις φαίδιμ'.] κορωνὶς καὶ ἔκθεσις χοροῦ ἐπῳδικὴ μὲν διὰ τὸ μετὰ τὴν διπλῆν κεῖσθαι. προῳδικὴ δὲ